πρὸς αὐτὸν ἐνεδρεύων καὶ ἐπάταξεν αὐτὸν ἐκεῖ ἐπὶ τὴν ψόαν, καὶ
ἀπέθανεν ἐν τῷ αἵματι Ασαηλ τοῦ ἀδελφοῦ Ιωαβ.
28 [28]Καὶ ἤκουσεν Δαυιδ μετὰ ταῦτα καὶ εἶπεν Ἀθῷός εἰμι ἐγὼ καὶ
ἡ βασιλεία μου ἀπὸ κυρίου ἕως αἰῶνος ἀπὸ τῶν αἱμάτων Αβεννηρ
29 υἱοῦ Νηρ· [29]καταντησάτωσαν ἐπὶ κεφαλὴν Ιωαβ καὶ ἐπὶ πάντα
τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ, καὶ μὴ ἐκλίποι ἐκ τοῦ οἴκου Ιωαβ
γονορρυὴς καὶ λεπρὸς καὶ κρατῶν σκυτάλης καὶ πίπτων ἐν ῥομ-
30 φαίᾳ καὶ ἐλασσούμενος ἄρτοις. [30]Ιωαβ δὲ καὶ Αβεσσα ὁ ἀδελφὸς
αὐτοῦ διεπαρετηροῦντο τὸν Αβεννηρ ἀνθ᾽ ὧν ἐθανάτωσεν τὸν Ασα-
31 ηλ τὸν ἀδελφὸν αὐτῶν ἐν Γαβαων ἐν τῷ πολέμῳ. — [31]Καὶ εἶπεν
Δαυιδ πρὸς Ιωαβ καὶ πρὸς πάντα τὸν λαὸν τὸν μετ᾽ αὐτοῦ Διαρ-
ρήξατε τὰ ἱμάτια ὑμῶν καὶ περιζώσασθε σάκκους καὶ κόπτεσθε
ἔμπροσθεν Αβεννηρ· καὶ ὁ βασιλεὺς Δαυιδ ἐπορεύετο ὀπίσω τῆς
32 κλίνης. [32]καὶ θάπτουσιν τὸν Αβεννηρ εἰς Χεβρων· καὶ ἦρεν ὁ
βασιλεὺς τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσεν ἐπὶ τοῦ τάφου αὐτοῦ,
33 καὶ ἔκλαυσεν πᾶς ὁ λαὸς ἐπὶ Αβεννηρ. [33]καὶ ἐθρήνησεν ὁ βασιλεὺς
ἐπὶ Αβεννηρ καὶ εἶπεν
Εἰ κατὰ τὸν θάνατον Ναβαλ ἀποθανεῖται Αβεννηρ;
34 [34]αἱ χεῖρές σου οὐκ ἐδέθησαν,
οἱ πόδες σου οὐκ ἐν πέδαις·
οὐ προσήγαγεν ὡς Ναβαλ,
ἐνώπιον υἱῶν ἀδικίας ἔπεσας.
35 καὶ συνήχθη πᾶς ὁ λαὸς τοῦ κλαῦσαι αὐτόν. [35]καὶ ἦλθεν πᾶς ὁ
λαὸς περιδειπνῆσαι τὸν Δαυιδ ἄρτοις ἔτι οὔσης ἡμέρας, καὶ ὤμο-
σεν Δαυιδ λέγων Τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προσθείη,
ὅτι ἐὰν μὴ δύῃ ὁ ἥλιος, οὐ μὴ γεύσωμαι ἄρτου ἢ ἀπὸ παντός
36 τινος. [36]καὶ ἔγνω πᾶς ὁ λαός, καὶ ἤρεσεν ἐνώπιον αὐτῶν πάντα,
37 ὅσα ἐποίησεν ὁ βασιλεὺς ἐνώπιον τοῦ λαοῦ. [37]καὶ ἔγνω πᾶς ὁ
λαὸς καὶ πᾶς Ισραηλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτι οὐκ ἐγένετο παρὰ
38 τοῦ βασιλέως θανατῶσαι τὸν Αβεννηρ υἱὸν Νηρ. [38]καὶ εἶπεν ὁ
βασιλεὺς πρὸς τοὺς παῖδας αὐτοῦ Οὐκ οἴδατε ὅτι ἡγούμενος μέγας
39 πέπτωκεν ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐν τῷ Ισραηλ; [39]καὶ ὅτι ἐγώ εἰμι
σήμερον συγγενὴς καὶ καθεσταμένος ὑπὸ βασιλέως, οἱ δὲ ἄνδρες
οὗτοι υἱοὶ Σαρουιας σκληρότεροί μού εἰσιν· ἀνταποδῷ κύριος τῷ
ποιοῦντι πονηρὰ κατὰ τὴν κακίαν αὐτοῦ.

27 επι (cf. 2 23)] εις B†: cf. 20 10 | ψοαν: cf. 2 23 | ιωαβ ult.] αυτου *L*† || 28 εγω] > A†, ante ειμι tr. *O*-A† | εως *O*-A†] pr. και BA, pr. απο του νυν και *L* || 29 σκυταλη A†, -λην *L* || 31 εμπροσθεν] ενωπιον B†, post αβ. tr. A† || 32 εις B†] εν *OL* || 34 ναβαλ] ναφα A† hic, non in 33 | συνηχθη BA] -θησαν *O*-A†, συνηλθεν *L*†, προσεθετο M || 35 αρτοις] -τους *O* || 36 εγνω / πας ο λαος] tr. *OL*† | fin.] + αγαθον A†, + αγαθα *O*-A† || 37 θανατωσαι B$L^{p}$†] pr. του $OL^{p}$ || 38 μεγας] pr. και *L* | εν ult. > A† || 39 ανταποδω] αντ > B†, -δοι A, -δωσει *O*-A†